νέαν δ' ἁμέραν ἀπολιπὼν θάνοι.
στενομένα γὰρ ἂν πόλις ἔχοι σκῆψιν
ξενικὸν εἰσβολάν.
ἁλίσας δ' ὁ πάρος ἀρχαγὸς ὢν
Ἐρεχθεὺς ἄναξ.

ΚΡ. ὦ πρέσβυ παιδαγώγ' Ἐρεχθέως πατρὸς
τοὐμοῦ ποτ' ὄντος, ἡνίκ' ἦν ἔτ' ἐν φάει,
ἔπαιρε σαυτὸν πρὸς θεοῦ χρηστήρια,
ὥς μοι συνησθῇς, εἴ τι Λοξίας ἄναξ
θέσπισμα παίδων εἰς γονὰς ἐφθέγξατο·
σὺν τοῖς φίλοις γὰρ ἡδὺ μὲν πράσσειν καλῶς·
ὃ μὴ γένοιτο δ', εἴ τι τυγχάνοι κακόν,
εἰς ὄμματ' εὔνου φωτὸς ἐμβλέψαι γλυκύ.
ἐγὼ δέ σ', ὥσπερ καὶ σὺ πατέρ' ἐμόν ποτε,
δέσποιν' ὅμως οὖσ' ἀντικηδεύω πατρός.

ΠΑΙ. ὦ θύγατερ, ἄξι' ἀξίων γεννητόρων
ἤθη φυλάσσεις κοὐ καταισχύνασ' ἔχεις
τοὺς σοὺς παλαιοὺς ἐκγόνους αὐτόχθονας.
ἕλχ' ἕλκε πρὸς μέλαθρα καὶ κόμιζέ με.
αἰπεινά μοι μαντεῖα· τοῦ γήρως δέ μοι
συνεκπονοῦσα κῶλον ἰατρὸς γενοῦ.

ΚΡ. ἕπου νυν· ἴχνος δ' ἐκφύλασσ' ὅπου τίθης.

ΠΑΙ. ἰδού.
τὸ τοῦ ποδὸς μὲν βραδύ, τὸ τοῦ δὲ νοῦ ταχύ.

ΚΡ. βάκτρῳ δ' ἐρείδου περιφερῆ στίβον χθονός.

ΠΑΙ. καὶ τοῦτο τυφλόν, ὅταν ἐγὼ βλέπω βραχύ.

ΚΡ. ὀρθῶς ἔλεξας· ἀλλὰ μὴ 'πάρεσκέ πω.

ΠΑΙ. οὔκουν ἑκών γε· τοῦ δ' ἀπόντος οὐ κρατῶ.

ΚΡ. γυναῖκες, ἱστῶν τῶν ἐμῶν καὶ κερκίδος
δούλευμα πιστόν, τίνα τύχην λαβὼν πόσις
βέβηκε παίδων ὧνπερ οὕνεχ' ἥκομεν;
σημήνατ'· εἰ γὰρ ἀγαθά μοι μηνύσετε,

---

728. *συνησθείς B συνησθῇς C* 731. ὅ] Stephanus, ἅ libri. *εἰ δ' ἄρα συμβαίνοι τι δυσχερέστερον* Stobaeus. 732. *ἐμβλέψαι* Plutarchus et Stobaeus, *εἰσβλέψαι* libri. 735. *ΠΡΕΣΒΥΤΗΣ C* 739. *μοι*] Barnesius, *δέ μοι* libri. 746. *ἀπόντος*] Reiskius, *ἄκοντος* libri. 750. *μηνύσετε*] Barnesius, *μηνύσατε* libri.